Ακαδημία Αθηνών / Academy of Athens

*καὶ τὸ φρονεῖν ἀλλοῖα π α ρ ί σ τ α τ α ι* **2.** Παραστέκω/βοηθῶ, assist/help, Ἐμπεδοκλῆς 131.3 *εὐχομένῳ νῦν αὖτε π α ρ ί σ τ α σ ο, Καλλιόπεια.*

**παροίχεσθαι.** Φεύγω/περνῶ, leave/pass, Δημόκριτος 235.8 *διὰ ταχέος τε ἡ ἡδονὴ π α ρ ο ί χ ε τ α ι.* || **παρῳχημένον.** Περασμένο, past/gone, Δημόκριτος 202 *ἀνοήμονες τῶν ἀπεόντων ὀρέγονται, τὰ δὲ παρεόντα καὶ π α ρ ῳ χ η μ έ ν ω ν κερδαλεώτερα ἐόντα ἀμαλδύνουσιν.*

**παρρησίη.** Παρρησία/ἐλευθεροστομία, outspokenness/freedom of speech, Δημόκριτος 226 *οἰκήιον ἐλευθερίης π α ρ ρ η σ ί η, κίνδυνος δὲ ἡ τοῦ καιροῦ διάγνωσις.*

**πᾶς 1.** Ὅλοι/κάθε, all/every, Ξενοφάνης 2.10 *ταῦτά κε π ά ν τ α λάχοι —οὐκ ἐὼν ἄξιος ὥσπερ ἐγὼ* 10 *ἐπεὶ μεμαθήκασι π ά ν τ ε ς* 33 *π ά ν τ ε ς γὰρ γαίης τε καὶ ὕδατος ἐκγενόμεσθα* Παρμενίδης 1.3 *ἣ κατὰ π ά ν τ' ἄστη φέρει εἰδότα φῶτα* 8.33 *[μὴ] ἐὸν δ' ἂν π α ν τ ὸ ς ἐδεῖτο* 8.38 *τῷ π ά ν τ' ὄνομ(α) ἔσται, ὅσσα βροτοὶ κατέθεντο πεποιθότες εἶναι ἀληθῆ* 10.1 *εἴσῃ δ' αἰθερίαν τε φύσιν τά τ' ἐν αἰθέρι π ά ν τ α σήματα* 16.4 *τὸ γὰρ αὐτὸ ἔστιν ὅπερ φρονέει μελέων φύσις ἀνθρώποισιν καὶ π ᾶ σ ι ν καὶ π α ν τ ί* Μέλισσος 8(3) *καὶ ἄλλο ὅ τι ἰσχυρὸν δοκεῖ εἶναι π ᾶ ν* Ἐμπεδοκλῆς 2.6 *τὸ δ' ὅλον ⟨π ᾶ ς⟩ εὔχεται εὑρεῖν* 22.1 *ἄρθμια μὲν γὰρ ταῦτα ἑαυτῶν π ά ν τ α μέρεσσιν* 31 *π ά ν τ α γὰρ ἑξείης πελεμίζετο γυῖα θεοῖο* 35.5 *ἐν τῇ δὴ τάδε π ά ν τ α συνέρχεται ἓν μόνον εἶναι, οὐκ ἄφαρ, ἀλλὰ θελημὰ συνιστάμεν' ἄλλοθεν ἄλλα* 110.3 *ταῦτά τέ σοι μάλα π ά ν τ α δι' αἰῶνος παρέσονται* 111.2 *φάρμακα δ' ὅσσα γεγᾶσι κακῶν καὶ γήραος ἄλκαρ πεύσῃ, ἐπεὶ μούνῳ σοὶ ἐγὼ κρανέω τάδε π ά ν τ α* 129.4-5 *ὁππότε γὰρ π ά σ η σ ι ν ὀρέξαιτο πραπίδεσσιν, ῥεῖ' ὅ γε τῶν ὄντων π ά ν τ ω ν λεύσσεσκεν ἕκαστον* Ἵππων 1 *τὰ γὰρ ὕδατα πινόμενα π ά ν τ α ἐκ τῆς θαλάσσης ἐστὶν ... ὅσα οὖν καθύπερθεν τῆς θαλάσσης ἐστί, π ά ν τ α ἀπ' αὐτῆς ἐστιν* Φιλόλαος 2.1-4-5 *ἀνάγκα τὰ ἐόντα εἶμεν π ά ν τ α ἢ περαίνοντα ἢ ἄπειρα ἢ περαίνοντά τε καὶ ἄπειρα ... φαίνεται οὔτ' ἐκ περαινόντων π ά ν τ ω ν ἐόντα οὔτ' ἐξ ἀπείρων π ά ν τ ω ν* 4 *καὶ π ά ν τ α γα μὰν τὰ γιγνωσκόμενα ἀριθμὸν ἔχοντι*

Ακαδημία Αθηνών / Academy of Athens

11.8-9-19-20 γνωμικὰ γὰρ ἁ φύσις ἁ τῶ ἀριθμῶ καὶ ἡγεμονικὰ καὶ διδασκαλικὰ τῶ ἀπορουμένω π α ν τ ὸ ς καὶ ἀγνοουμένω π α ν τ ὶ ... ἐν τοῖς ἀνθρωπικοῖς ἔργοις καὶ λόγοις π ᾶ σ ι παντᾶ καὶ κατὰ τὰς δημιουργίας τὰς τεχνικὰς π ά σ α ς καὶ κατὰ τὰν μουσικὰν Ἀναξαγόρας 1.1-2-4 ὁμοῦ π ά ν τ α χρήματα ἦν ... καὶ π ά ν τ ω ν ὁμοῦ ἐόντων οὐδὲν ἔνδηλον ἦν ὑπὸ σμικρότητος· π ά ν τ α γὰρ ἀήρ τε καὶ αἰθὴρ κατεῖχεν, ἀμφότερα ἄπειρα ἐόντα 4.2-3-13-15-21 χρὴ δοκεῖν ἐνεῖναι πολλά τε καὶ παντοῖα ἐν π ᾶ σ ι τοῖς συγκρινομένοις καὶ σπέρματα π ά ν τ ω ν χρημάτων καὶ ἰδέας παντοίας ἔχοντα καὶ χροιὰς καὶ ἡδονὰς ... πρὶν δὲ ἀποκριθῆναι ταῦτα π ά ν τ ω ν ὁμοῦ ἐόντων οὐδὲ χροιὴ ἔνδηλος ἦν οὐδεμία· ἀπεκώλυε γὰρ ἡ σύμμιξις π ά ν τ ω ν χρημάτων . . . ἐν τῷ σύμπαντι χρὴ δοκεῖν ἐνεῖναι π ά ν τ α χρήματα 12.9-10-27 ἔστι γὰρ λεπτότατόν τε π ά ν τ ω ν χρημάτων καὶ καθαρώτατον, καὶ γνώμην γε περὶ π α ν τ ὸ ς π ᾶ σ α ν ἴσχει καὶ ἰσχύει μέγιστον ... νοῦς δὲ π ᾶ ς ὅμοιός ἐστι καὶ ὁ μείζων καὶ ὁ ἐλάττων 13 καὶ ἐπεὶ ἤρξατο ὁ νοῦς κινεῖν, ἀπὸ τοῦ κινουμένου π α ν τ ὸ ς ἀπεκρίνετο Διογένης 1 λόγου π α ν τ ὸ ς ἀρχόμενον 2.1-12 ἐμοὶ δὲ δοκεῖ τὸ μὲν ξύμπαν εἰπεῖν π ά ν τ α τὰ ὄντα ἀπὸ τοῦ αὐτοῦ ἑτεροιοῦσθαι καὶ τὸ αὐτὸ εἶναι ... ἀλλὰ π ά ν τ α ταῦτα ἐκ τοῦ αὐτοῦ ἑτεροιούμενα ἄλλοτε ἀλλοῖα γίνεται καὶ εἰς τὸ αὐτὸ ἀναχωρεῖ 5.2-11 καί μοι δοκεῖ τὸ τὴν νόησιν ἔχον εἶναι ὁ ἀὴρ καλούμενος ὑπὸ τῶν ἀνθρώπων, καὶ ὑπὸ τούτου καὶ π ά ν τ α ς κυβερνᾶσθαι καὶ π ά ν τ ω ν κρατεῖν ... καὶ π ά ν τ ω ν τῶν ζῴων δὲ ἡ ψυχὴ τὸ αὐτό ἐστιν Δημόκριτος 98 ἑνὸς φιλίη ξυνετοῦ κρέσσων ἀξυνέτων π ά ν τ ω ν 124 ἄνθρωποι εἷς ἔσται καὶ ἄνθρωπος π ά ν τ ε ς 165 λέγω τάδε περὶ τῶν ξυμπάντων. - ἄνθρωπός ἐστιν ὃ π ά ν τ ε ς ἴδμεν 191.15 καὶ τῇ μνήμῃ π ᾶ σ α ν ὥραν προσεδρεύων 207 ἡδονὴν οὐ π ᾶ σ α ν, ἀλλὰ τὴν ἐπὶ τῷ καλῷ αἱρεῖσθαι χρεών 235.3 ὅσοι ἀπὸ γαστρὸς τὰς ἡδονὰς ποιέονται ... τοῖσι π ᾶ σ ι ν αἱ μὲν ἡδοναὶ βραχεῖαί τε καὶ δι' ὀλίγου γίνονται 237 φιλονικίη π ᾶ σ α ἀνόητος 247 ἀνδρὶ σοφῷ π ᾶ σ α γῆ βατὴ 258 κτείνειν χρὴ τὰ πημαίνοντα παρὰ δίκην π ά ν τ α περὶ π α ν τ ὸ ς 259.4 ἐν π α ν τ ὶ κόσμῳ, ἐν ᾧ μὴ νόμος ἀπείργει 264.3 μηδέν τι μᾶλλον τοὺς ἀνθρώπους αἰδεῖσθαι ἑωυτοῦ ... εἰ μέλλει μηδεὶς εἰδήσειν ἢ οἱ π ά ν τ ε ς ἄνθρωποι 293 οἷσιν ἡδονὴν ἔχουσιν αἱ τῶν πέλας ξυμφοραί, οὐ ξυνιᾶσι μὲν ὡς τὰ τῆς τύχης κοινὰ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

πᾶσιν, ἀπορέουσι δὲ οἰκηίης χαρᾶς Ἀνάξαρχος 1 πολυμαθίη... βλάπτει δὲ τὸν ῥηϊδίως φωνεῦντα πᾶν ἔπος κὴν παντὶ δήμῳ. || **πάντα.** Ξενοφάνης 11.1 πάντα θεοῖσ' ἀνέθηκαν Ὅμηρός θ' Ἡσίοδός τε, ὅσσα παρ' ἀνθρώποισιν ὀνείδεα καὶ ψόγος ἐστὶν 25 ἀλλ' ἀπάνευθε πόνοιο νόου φρενὶ πάντα κραδαίνει 27 ἐκ γαίης γὰρ πάντα καὶ εἰς γῆν πάντα τελευτᾷ 34.2-4 ἅσσα λέγω περὶ πάντων ... δόκος δ' ἐπὶ πᾶσι τέτυκται Ἡράκλειτος 1.4 γινομένων γὰρ πάντων κατὰ τὸν λόγον τόνδε 7 εἰ πάντα καπνὸς γένοιτο, ῥῖνες ἂν διαγνοῖεν 10 ἐκ πάντων ἓν καὶ ἐξ ἑνὸς πάντα 41 ἓν τὸ σοφόν, ἐπίστασθαι γνώμην, ὁτέη ἐκυβέρνησε πάντα διὰ πάντων 50 οὐκ ἐμοῦ, ἀλλὰ τοῦ λόγου ἀκούσαντας ὁμολογεῖν σοφόν ἐστιν ἓν πάντα εἶναι 53 Πόλεμος πάντων μὲν πατήρ ἐστι, πάντων δὲ βασιλεὺς 66 πάντα γὰρ ... τὸ πῦρ ἐπελθὸν κρινεῖ καὶ καταλήψεται 80 εἰδέναι δὲ χρὴ τὸν πόλεμον ἐόντα ξυνόν, καὶ δίκην ἔριν, καὶ γινόμενα πάντα κατ' ἔριν καὶ χρεὼν 100 ὥρας αἳ πάντα φέρουσι 102 τῷ μὲν θεῷ καλὰ πάντα καὶ ἀγαθὰ καὶ δίκαια, ἄνθρωποι δὲ ἃ μὲν ἄδικα ὑπειλήφασιν ἃ δὲ δίκαια 108 ὁκόσων λόγους ἤκουσα, οὐδεὶς ἀφικνεῖται ἐς τοῦτο, ὥστε γινώσκειν ὅτι σοφόν ἐστι πάντων κεχωρισμένον 114 ξὺν νόῳ λέγοντας ἰσχυρίζεσθαι χρὴ τῷ ξυνῷ πάντων, ὅκωσπερ νόμῳ πόλις, καὶ πολὺ ἰσχυροτέρως Παρμενίδης 1.32 τὰ δοκοῦντα χρῆν δοκίμως εἶναι διὰ παντὸς πάντα περῶντα 9.1 αὐτὰρ ἐπειδὴ πάντα φάος καὶ νὺξ ὀνόμασται 12.3-4 ἐν δὲ μέσῳ τούτων δαίμων ἣ πάντα κυβερνᾷ· πάντα γὰρ ⟨ἣ⟩ στυγεροῖο τόκου καὶ μίξιος ἄρχει Ἐμπεδοκλῆς 6.1 τέσσαρα γὰρ πάντων ῥιζώματα πρῶτον ἄκουε 17.4-27 τὴν μὲν γὰρ πάντων σύνοδος τίκτει τ' ὀλέκει τε, ἡ δὲ πάλιν διαφυομένων θρεφθεῖσα διέπτη ... ταῦτα γὰρ ἶσά τε πάντα καὶ ἥλικα γένναν ἔασι 21.5-7-9 ὄμβρον δ' ἐν πᾶσι δνοφόεντά τε ῥιγαλέον τε ... ἐν δὲ Κότῳ διάμορφα καὶ ἄνδιχα πάντα πέλονται, σὺν δ' ἔβη ἐν Φιλότητι καὶ ἀλλήλοισι ποθεῖται. ἐκ τούτων γὰρ πάνθ' ὅσα τ' ἦν ὅσα τ' ἔστι καὶ ἔσται 23.5 ἐκ τῶν εἴδεα πᾶσιν ἀλίγκια πορσύνουσι 89 γνούς, ὅτι πάντων εἰσὶν ἀπορροαί, ὅσσ' ἐγένοντο 100.1 πᾶσι λίφαιμοι σαρκῶν σύριγγες πύματον κατὰ σῶμα τέτανται 102 ὧδε μὲν οὖν πνοιῆς τε λελόγχασι πάντα καὶ ὀσμῶν 107.1 ἐκ τούτων ⟨γὰρ⟩ πάντα πεπήγασιν ἁρμοσθέντα καὶ τούτοις φρονέουσι καὶ ἥδοντ'

Ακαδημία Αθηνών / Academy of Athens

Ακαδημία Αθηνών / Academy of Athens

ἠδ' ἀνιῶνται 110.10 π ά ν τ α γὰρ ἴσθι φρόνησιν ἔχειν καὶ νώματος αἶσαν 130.1 ἦσαν δὲ κτίλα π ά ν τ α καὶ ἀνθρώποισι προσηνῆ, θῆρές τ' οἰωνοί τε 135.1 ἀλλὰ τὸ μὲν π ά ν τ ω ν νόμιμον διά τ' εὐρυμέδοντος αἰθέρος ἠνεκέως τέταται διά τ' ἀπλέτου αὐγῆς Φιλόλαος 1 ἁ φύσις δ' ἐν τῷ κόσμῳ ἁρμόχθη ἐξ ἀπείρων τε καὶ περαινόντων, καὶ ὅλος ⟨ὁ⟩ κόσμος καὶ τὰ ἐν αὐτῷ π ά ν τ α 3 ἀρχὰν γὰρ οὐδὲ τὸ γνωσούμενον ἐσσεῖται π ά ν τ ω ν ἀπείρων ἐόντων 8 οὐ γὰρ ἓν ... ἀρχὰ π ά ν τ ω ν; 11.5 δύναμις καὶ τᾶς δεκάδος. ἄνευ δὲ τούτας π ά ν τ' ἄπειρα καὶ ἄδηλα καὶ ἀφανῆ 'Αναξαγόρας 5 π ά ν τ α οὐδὲν ἐλάσσω ἐστὶν οὐδὲ πλείω (οὐ γὰρ ἀνυστὸν π ά ν τ ω ν πλείω εἶναι), ἀλλὰ π ά ν τ α ἴσα ἀεὶ 6 καὶ ὅτε δὲ ἴσαι μοῖραί εἰσι τοῦ τε μεγάλου καὶ τοῦ σμικροῦ πλῆθος, καὶ οὕτως ἂν εἴη ἐν παντὶ π ά ν τ α· οὐδὲ χωρὶς ἔστιν εἶναι, ἀλλὰ π ά ν τ α παντὸς μοῖραν μετέχει... καὶ νῦν π ά ν τ α ὁμοῦ. ἐν π ᾶ σ ι δὲ πολλὰ ἔνεστι 12.12-16-18 καὶ ὅσα γε ψυχὴν ἔχει καὶ τὰ μείζω καὶ τὰ ἐλάσσω, π ά ν τ ω ν νοῦς κρατεῖ ... καὶ τὰ συμμισγόμενά τε καὶ ἀποκρινόμενα καὶ διακρινόμενα π ά ν τ α ἔγνω νοῦς. καὶ ὁποῖα ἔμελλεν ἔσεσθαι καὶ ὁποῖα ἦν, ἅσσα νῦν μὴ ἔστι, καὶ ὅσα νῦν ἐστι καὶ ὁποῖα ἔσται, π ά ν τ α διεκόσμησε νοῦς 14 ὁ δὲ νοῦς, ὃς ἀεί ἐστι, τὸ κάρτα καὶ νῦν ἐστιν ἵνα καὶ τὰ ἄλλα π ά ν τ α, ἐν τῷ πολλῷ περιέχοντι καὶ ἐν τοῖς προσκριθεῖσι καὶ ἐν τοῖς ἀποκεκριμένοις Διογένης 3.2 οὐ γὰρ ἂν ... οἷόν τε ἦν οὕτω δεδάσθαι ἄνευ νοήσιος, ὥστε π ά ν τ ω ν μέτρα ἔχειν 5.3-4-22-24 καί μοι δοκεῖ τὸ τὴν νόησιν ἔχον εἶναι ὁ ἀὴρ καλούμενος ὑπὸ τῶν ἀνθρώπων, καὶ ὑπὸ τούτου πάντας καὶ κυβερνᾶσθαι καὶ π ά ν τ ω ν κρατεῖν· αὐτὸ γάρ μοι τοῦτο θεὸς δοκεῖ εἶναι καὶ ἐπὶ πᾶν ἀφῖχθαι καὶ π ά ν τ α διατιθέναι καὶ ἐν παντὶ ἐνεῖναι ... ὅμως δὲ π ά ν τ α τῷ αὐτῷ καὶ ζῇ καὶ ὁρᾷ καὶ ἀκούει, καὶ τὴν ἄλλην νόησιν ἔχει ἀπὸ τοῦ αὐτοῦ π ά ν τ α Λεύκιππος 2 οὐδὲν χρῆμα μάτην γίνεται, ἀλλὰ π ά ν τ α ἐκ λόγου τε καὶ ὑπ' ἀνάγκης Δημόκριτος 30 π ά ν τ α, ⟨εἶπαν⟩, Ζεὺς μυθέεται (?) καὶ π ά ν θ' οὗτος οἶδε καὶ διδοῖ καὶ ἀφαιρέεται καὶ βασιλεὺς οὗτος τῶν π ά ν τ ω ν 78 χρήματα πορίζειν μὲν οὐκ ἀχρεῖον, ἐξ ἀδικίης δὲ π ά ν τ ω ν κάκιον 86 πλεονεξίη τὸ π ά ν τ α λέγειν, μηδὲν δὲ ἐθέλειν ἀκούειν 106 ἐν εὐτυχίῃ φίλον εὑρεῖν εὔπορον, ἐν δὲ δυστυχίῃ π ά ν τ ω ν ἀπορώτατον 169 μὴ π ά ν τ α ἐπίστασθαι προθυμέο, μὴ π ά ν τ ω ν ἀμαθὴς γένῃ 178 π ά ν τ ω ν κάκιστον

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



ἡ εὐπετείη παιδεῦσαι τὴν νεότητα 216 σοφίη ἄθαμβος ἀξίη πάντων 252.5-7 πόλις γὰρ εὖ ἀγομένη μεγίστη ὄρθωσίς ἐστι, καὶ ἐν τούτῳ πάντα ἔνι, καὶ τούτου σῳζομένου πάντα σῴζεται καὶ τούτου διαφθειρομένου τὰ πάντα διαφθείρεται 278.4-8 δῆλον δὲ καὶ τοῖς ἄλλοις ζῴοισι· πάντα γὰρ ἔκγονα κτᾶται κατὰ φύσιν ἐπωφελείης γε οὐδεμιᾶς εἵνεκα... ἡ μὲν φύσις τοιαύτη πάντων ἐστὶν ὅσσα ψυχὴν ἔχει 296 γῆρας ὁλόκληρός ἐστι πήρωσις· πάντ' ἔχει καὶ πᾶσιν ἐνδεῖ Μητρόδωρος 2 πάντα ἐστίν, ὃ ἄν τις νοήσαι. || **(τὰ) πάντα.** Ἡράκλειτος 64 τὰ δὲ πάντα οἰακίζει Κεραυνὸς 90 πυρός τε ἀνταμοιβὴ τὰ πάντα καὶ πῦρ ἁπάντων ὅκωσπερ χρυσοῦ χρήματα καὶ χρημάτων χρυσός. || **πᾶν.** Παρμενίδης 1.32 τὰ δοκοῦντα χρῆν δοκίμως εἶναι διὰ παντὸς πάντα περῶντα 9.3 πᾶν πλέον ἐστὶν ὁμοῦ φάεος καὶ νυκτὸς ἀφάντου ἴσων ἀμφοτέρων, ἐπεὶ οὐδετέρῳ μέτα μηδὲν Ἐμπεδοκλῆς 35.10 οὐ γὰρ ἀμεμφέως τῶν πᾶν ἐξέστηκεν ἐπ' ἔσχατα τέρματα κύκλου, ἀλλὰ τὰ μὲν τ' ἐνέμιμνε μελέων τὰ δέ τ' ἐξεβεβήκει Ἀναξαγόρας 6 καὶ ὅτε δὲ ἴσαι μοῖραί εἰσι τοῦ τε μεγάλου καὶ τοῦ σμικροῦ πλῆθος, καὶ οὕτως ἂν εἴη ἐν παντὶ πάντα· οὐδὲ χωρὶς ἔστιν εἶναι, ἀλλὰ πάντα παντὸς μοῖραν μετέχει 11 ἐν παντὶ παντὸς μοῖρα ἔνεστι πλὴν νοῦ, ἔστιν οἷσι δὲ καὶ νοῦς ἔνι 12.1-5-10 τὰ μὲν ἄλλα παντὸς μοῖραν μετέχει, νοῦς δέ ἐστιν ἄπειρον καὶ αὐτοκρατὲς καὶ μέμεικται οὐδενὶ χρήματι, ἀλλὰ μόνος αὐτὸς ἐπ' ἑωυτοῦ ἐστιν ... ἐν παντὶ γὰρ παντὸς μοῖρα ἔνεστιν ... καὶ γνώμην γε περὶ παντὸς πᾶσαν ἴσχει καὶ ἰσχύει μέγιστον Διογένης 5.4-5 αὐτὸ γάρ μοι τοῦτο θεὸς δοκεῖ εἶναι καὶ ἐπὶ πᾶν ἀφῖχθαι καὶ πάντα διατιθέναι καὶ ἐν παντὶ ἐνεῖναι Δημόκριτος 102 καλὸν ἐν παντὶ τὸ ἴσον 258 κτείνειν χρὴ τὰ πημαίνοντα παρὰ δίκην πάντα περὶ παντός· καὶ ταῦτα ὁ ποιῶν εὐθυμίης (?) καὶ δίκης καὶ θάρσεος καὶ κτήσεως (?) ἐν παντὶ κόσμῳ μέζω μοῖραν μεθέξει. || **(τὸ) πᾶν·** Ἐμπεδοκλῆς 13 οὐδέ τι τοῦ παντὸς κενεὸν πέλει οὐδὲ περισσόν 14 τοῦ παντὸς δ' οὐδὲν κενεόν· πόθεν οὖν τί κ' ἐπέλθοι; 17.32 τοῦτο δ' ἐπαυξήσειε τὸ πᾶν τί κε; 26.7 εἰσόκεν ἓν συμφύντα τὸ πᾶν ὑπένερθε γένηται 39.3 ὀλίγον τοῦ παντὸς ἰδόντων Δημόκριτος 167 δῖνον ἀπὸ τοῦ παντὸς ἀποκριθῆναι παντοίων ἰδεῶν **2** (συνών. ἅπας, ὅλος). Ὁλόκληρος/ὅλος, whole/all, Ξενοφάνης 6.3 τοῦ κλέος Ἑλ-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

λάδα π ᾶ σ α ν ἐφίξεται Παρμενίδης 8.5-22-24-25-48-60 οὐδέ ποτ' ἦν οὐδ' ἔσται, ἐπεὶ νῦν ἔστιν ὁμοῦ π ᾶ ν, ἕν, συνεχὲς ... οὐδὲ διαιρετόν ἐστιν, ἐπεὶ π ᾶ ν ἐστιν ὁμοῖον ... οὐδέ τι χειρότερον, π ᾶ ν δ' ἔμπλεόν ἐστιν ἐόντος. τῷ ξυνεχὲς π ᾶ ν ἐστιν ... ἐπεὶ π ᾶ ν ἐστιν ἄσυλον ... τόν σοι ἐγὼ διάκοσμον ἐοικότα π ά ν τ α φατίζω Μέλισσος 2.8 ὅ τι μὴ π ᾶ ν ἔστι 7(1)-(2)-(4) οὕτως οὖν ἀίδιόν ἐστι καὶ ἄπειρον καὶ ἓν καὶ ὅμοιον π ᾶ ν ... ὀλεῖται π ᾶ ν ἐν τῷ π α ν τ ὶ χρόνῳ ... οὐδὲ ἀλγεῖ· οὐ γὰρ ἂν π ᾶ ν εἴη ἀλγέον Ἐμπεδοκλῆς 3.9 ἀλλ' ἄγ' ἄθρει π ά σ ῃ παλάμῃ Ἀναξαγόρας 13 καὶ ὅσον ἐκίνησεν ὁ νοῦς, π ᾶ ν τοῦτο διεκρίθη Διογένης 6.18 αἱ δὲ εἰς τὰ σκέλη τείνουσαι (sc. φλέβες) σχίζονται κατὰ τὴν πρόσφυσιν, καὶ διὰ π α ν τ ὸ ς τοῦ μηροῦ τείνουσιν Δημόκριτος 159 εἰ τοῦ σώματος αὐτῇ δίκην λαχόντος, παρὰ π ά ν τ α τὸν βίον ὧν ὠδύνηται ⟨καὶ⟩ κακῶς πέπονθεν, αὐτὸς γένοιτο τοῦ ἐγκλήματος δι⟨καστής⟩, ἡδέως ἂν καταψηφίσασθαι τῆς ψυχῆς. || **διὰ πασᾶν.** Φιλόλαος 6.21 ἁ δὲ συλλαβὰ ἐπίτριτον, τὸ δὲ δι' ὀξειᾶν ἡμιόλιον, τὸ δ ι ὰ π α σ ᾶ ν δὲ διπλόον.

**πάσχειν** (ἀντίθ. πράσσειν) **1.** Παθαίνω/ὑφίσταμαι, suffer/be affected, Μέλισσος 7(2) εἰ γάρ τι τούτων π ά σ χ ο ι, οὐκ ἂν ἔτι ἓν εἴη Δημόκριτος 278.7 ὑπερδέδοικε, μέχρι σμικρὰ ᾖ, καὶ ἤν τι π ά θ ῃ, ἀνιᾶται **2.** Πάσχω/ὑποφέρω, suffer, Δημόκριτος 191.10-21 ἐννοούμενον ἃ π ά σ χ ο υ σ ι ... ἐνθυμεύμενον ἃ π ά σ χ ο υ σ ι ν. || **πάσχειν εὖ** (ἀντίθ. πάσχειν κακῶς). Εὐεργετοῦμαι, be benefitted, Δημόκριτος 248 ὁ νόμος βούλεται μὲν εὐεργετεῖν βίον ἀνθρώπων· δύναται δέ, ὅταν αὐτοὶ βούλωνται π ά σ χ ε ι ν ε ὖ. || **πάσχειν κακῶς** (ἀντίθ. πάσχειν εὖ) **1.** Κακοπαθαίνω, suffer hardship, Δημόκριτος 159 ὧν ὠδύνηται ⟨καὶ⟩ κ α κ ῶ ς π έ π ο ν θ ε ν **2.** Τιμωροῦμαι, be punished, Δημόκριτος 253 κίνδυνος κ α κ ῶ ς ἀκούειν καὶ δὴ καὶ π α θ ε ῖ ν τι 265 τὸν δὲ μὴ ἀποδιδόντα κ α κ ῶ ς ἀκούειν καὶ π ά σ χ ε ι ν. Πρβλ. κακῶς ἀκούειν.

**πατήρ** (συνών. γενέτωρ). Πατέρας, father, Ἐμπεδοκλῆς 137.1-5 μορφὴν δ' ἀλλάξαντα π α τ ὴ ρ φίλον υἱὸν ἀείρας σφάζει ἐπευχόμενος μέγα νήπιος ... ὡς δ' αὕτως π α τ έ ρ' υἱὸς ἑλὼν καὶ μητέρα παῖδες θυμὸν ἀπορραίσαντε φίλας κατὰ σάρκας ἔδουσιν Δημόκριτος 208 π α τ ρ ὸ ς σωφροσύνη μέγιστον τέκνοις παράγγελμα.